ἄγ᾽, ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ᾽, ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς μηδ᾽ ἀναμνησθῇς τέκνων
ὡς φίλταθ᾽, ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ᾽ ὅμως
φίλοι τ᾽ ἔφυσαν, δυστυχὴς δ᾽ ἐγὼ γυνή.

*ΧΟ.* ἰὼ Γᾶ τε καὶ παμφαὴς str.
ἀκτὶς Ἀελίου, κατίδετ᾽ ἴδετε τὰν
ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ᾽ αὐτοκτόνον·
σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς
ἔβλαστεν, θεοῦ δ᾽ αἵματι πίτνειν
φόβος ὑπ᾽ ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε κατάπαυσον, ἔξελ᾽ οἴκων φονίαν
τάλαινάν τ᾽ Ἐρινὺν ὑπ᾽ ἀλαστόρων.
μάταν μόχθος ἔρρει τέκνων, antistr.
ἆρα μάταν γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν εἰσβολάν;
δειλαία, τί σοι φρενῶν βαρὺς
χόλος προσπίτνει καὶ δυσμενὴς
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
σματ᾽ ἐπὶ γαῖαν αὐτοφόνταις συνῳ-
δὰ θεόθεν πίτνοντ᾽ ἐπὶ δόμοις ἄχη.

*ΠΑΙΣ.* οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
*ΠΑΙΣ.* οὐκ οἶδ᾽, ἀδελφὲ φίλτατ᾽· ὀλλύμεσθα γάρ.
*ΧΟ.* ἀκούεις βοὰν ἀκούεις τέκνων;
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι.
παρέλθω δόμους; ἀρῆξαι φόνον
δοκεῖ μοι τέκνοις.

---

1250. *φίλοι γ᾽ BC* 1253. *οὐλομένας* BC *φοινίαν*] Musurus, *φονίαν* libri. 1254. *τέκνοισι BC* 1256. *αἷμα BC* 1262. *ἆρα μάταν*] *μάταν BC αρα μάταν* ceteri. *ὦ* om. *BC* 1267. *ἀμείρεται φόνος B ἀμείβεται φόνος C* 1269. *συνῳδά*] v. l. *σύνοιδα*.